Σχόλια. Ἡ παῖς λέλυται.] κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκειμένων. ἐξ ἰαμβείων μά. ἐπὶ τῷ τέλει κορωνίς.
Σησαμῆ.] περὶ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις, σήσαμον διδόναι. ὅς ἐστι πλακοῦς γαμικὸς ἀπὸ σησάμου πεποιημένος διὰ τὸ πολύγονον. ὥς φησι Μένανδρος. σησαμοῦς δὲ καὶ σησαμῆ διαφέρει. σησαμοῦς μὲν εἶδος πλακοῦντος. σησαμῆ δὲ, ἣν φαμὲν ἡμεῖς σησαμίδα. σήσαμα δὲ καὶ μήκωνες καὶ σισύμβρεια φύλλα οἷς στεφανοῦνται οἱ νυμφίοι. καὶ σησαμοῦντα πόπανα.

CHRIST. Σησαμῆ] Ex Sesamo (sunt qui putent esse quem vocamus Risum vel oryzam) fiebant placentæ nuptiales, & eas dari mos erat in nuptiis propter fœcunditatem, vt ait Menander. est enim πολύγονος & vt ait Theophrastus, λιπαρός. vocabatur autem σησαμοῦς, placenta illa siue πλακοῦς siue πόπανον. Et solebant sponsi coronari foliis sesami, papaueris & sisymbrij. Apud Athenæum lepida est historia lib. 14. Nam fiebant, inquit, Syracusis ex Sesamo & melle Eugia muliebria (sic verto ἐφήβαια) ea vocabant μυλλοὺς in Sicilia, & spectaculis exhibebant. Testatur Heraclides Syracusius. Sanè apud veteres nihil mellitum aut dulce fuit, quod non esset Sesamo sparsum & papauere. Vnde Petronius elegans dicendi & bibendi arbiter, mellitos verborum globulos, omniáque dicta quasi papauere & sesamo sparsa. Apud Hesychium corruptissimus est locus σησαμοῦς δῆς ἐνακύραι πόα ἐοικυῖα ἥει γέροντι, cuius loci restitutionem præstare non possum. Sed coniecturam pro fulmenta supponam, τῷ σὺν κύρῳ πόα ἐοικυῖα ἠελγμένῳ, vel ἠρυγγίῳ. Nam ἠρυγγίτης est panis & herba. Eò audacior fui in conjectãdo quòd sciam Sesamino oleo & συίνῳ vnctos fuisse Cyri commilitones. Ανύσαντε] Cum aspiratione ἁνύειν est σπεύδειν quod hîc conuenit. Audiendus etiã Sudas qui ait ἀνύσασθαι, παρὰ τοῖς ἄρχουσι διαπράξασθαι, καὶ ὁμοίως πάλιν τὸ τοὺς ἄρχοντας προστάξαι τοῖς ὑπηκόοις. Επαιόμενοι] Hic pro ἐλαύνειν, & συνουσιάζειν, & inde verbum pauire, & pauimenta quia sũt κροτητά, & tripudium quasi terripauium. Sic enim Festus cùm de pulte agit. Βραυρῶνα δή'] Brauron vrbs Attica vbi Dionysia fiebant, & vnde multa scorta vino madidi deducebant. Ibi Artemidi sacra erant & capra immolabatur, solebántque illic olim Rapsodi Iliadem cantare, ibique nuptura virgines initiabãtur Dianæ, quod ἀρκτεύειν, illi dicebãt, qua de re lepida historia est apud Sudã, & meminit Hesychius voce δεκατεύειν. Erãt autẽ illa Dionysia quinto quoque anno. Pollux ait decẽ sacrificos sacra quinquennalia fecisse in Delo, Braurone & Eleusine, Propterea addit πρωκτοπεντετηρίδα, sed ista Dionysia sũt Aphrodisia. Pausanias Atticis, testatur Braurone nõ longè à Marathone olim cũ Diana Taurica Iphigeniã venisse.

Καὶ τ' ἄλλ' ἁπαξάπαντα, τοῦ πέους δὲ δεῖ.
Τρ. Ἴθι νυν ἀποδῶμεν τήνδε τὴν Θεωρίαν,
Ανύσαντε τῇ βουλῇ. Θε. Τίς ἐσθ' αὕτη, τί φῄς;
Τρ. Αὕτη Θεωρία 'στὶν, ἣν ἡμεῖς ποτὲ
Ἐπαιόμεν Βραυρῶνα δὴ ὑποπεπωκότες,
Σάφ' ἴσθι, κἀλήφθη γε μόλις. Θε. Ὦ δέσποτα,
Ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα.

*Et cætera omnia, expetenda mentula est.*
TR. *Age properemus reddere hanc Spectaculã Senatui.* FAM. *Quænam illa quæso quam vocas?*
TR. *Nempe hæc Theoria illa: nos olim antea Braurone potabundi eam depuuimus:*
*Et capta vix est, si quid es memor.* FA. *ô here Proh. qualis illi culiquinquennalitas.*

Σχόλια. Βραυρῶνα δὴ ὑποπεπωκότες] Βραυρὼν, πόλις τῆς Ἀττικῆς ἐν ᾗ τὰ Διονύσια ἤγοντο. καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον.

BISETVS. Σουίδας. Βραυρὼν, τόπος τῆς Ἀττικῆς, ἐν ᾧ τὰ Διονύσια ἤγοντο, καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον. τὸ δὲ ὑποπεπωκότες, τουτέστι μεθύοντες, καὶ πολὺν οἶνον πιόντες, παρὰ τὸ ὑποπίνω.

Σχόλια. Πρωκτοπεντετηρίδα] παρόσον διὰ πενταετηρίδος χρόνου ἤγοντο αἱ θεωρίαι τῶν Διονυσίων.

BISETVS. Τὸν ζωμὸν αὐτῆς] οὕτως ὁ ποιητὴς τὸ Αριφράδου ἐν τοῖς ἀφροδισίοις ἀρρήτῳ στόματος μολυσμῷ αἰσχρουργὸν δηλοῖ. Ἄγε δὴ σὺ κατάθου] Ὁ Τρυγαῖος πρὸς τὴν Θεωρίαν στραφεὶς ταῦτα λέγει, καὶ ἅμα τὰ αὐτῆς αἰδοῖα ἀποκαλύψας τοῖς θεαταῖς γέλωτος χάριν ἐπιδεικνύει.

BISETVS. Ὁ Τρυγαῖος πρὸς τοὺς θεατὰς στραφεὶς ταῦτα λέγει.

Τρ. Εἶεν, τίς ἐσθ' ὑμῶν δίκαιος, τίς ποτε,
Τίς διαφυλάξει τήνδε τῇ βουλῇ λαβών;
Οὗτος τί περιγράφεις; Θε. Τὸ δεῖν' ἐς Ἴσθμια,
Σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.

TR. *Agedum ergo quisquis iustus inter vos fuat.*
*Hanc sumat & Senatui custodiat.*
*Heus tu quid isthic rerũ agis?* FA. *ad Isthmia*
*Praoccupo interim inguinis tentorium.*

CHRI. Τί περιγράφεις;] Quid inquit deles vel expũgis? Notũ quid sit circũscribere magistratu, is enim vel M. Tullio auctore circũscriptus dicitur cui honor & imperium abrogantur. Ἐς Ἴσθμια σκηνὴν] Famulus ille fortassis τῶν αἰδοίων περιμετρείαν faciebat, & mirum ni per τὰ Ἴσθμια innuat τὴν περιμαλίαν τῶν ἐφηβαίων γυναικείων: nam Corinthi (vnde Isthmus) multę erãt meretrices, & inter has nobilis Lais. Idẽ Aristophanes alibi dixit ἴσθμον τιν' ἔχεις ἄνθρωπε, ἄνω τε καὶ κάτω τὸ πέος διέλκεις πυκνότερον Κορινθίων, puto hoc fuisse ἰσθμιάζειν vel διισθμονίζειν. Hîc tamẽ respõdet ille famul' quasi de sede cogitet ad spectacula Isthmiaca, vbi in honorẽ Neptuni γυμνικὸς ἀγὼν erat. Dixit autẽ σκηνὴν καταλαμβάνειν, vt solẽt boni auctores Greci θέαν καταλαμβάνειν. Quorũ testimonia non arcessam ne actum agam, & eruditi Leopardi supellectilem conuassem, qui in Emendationum libris caput integrum huic phraseos obseruationi impendit.